# Ε ὐ α γ γ έ λ ι ο ν
# κ α τ ὰ  Μ α τ θ α ῖ ο ν

---

## 18

1 Ἐν ἐκείνῃ τῇ ὥρᾳ προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ λέγοντες, Τίς
ἄρα μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν;
2 καὶ προσκαλεσάμενος παιδίον ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν
3 καὶ εἶπεν, Ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ
παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.
4 ὅστις οὖν ταπεινώσει ἑαυτὸν ὡς τὸ παιδίον τοῦτο, οὗτός ἐστιν ὁ
μείζων ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.
5 καὶ ὃς ἐὰν δέξηται ἓν παιδίον τοιοῦτο ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ
δέχεται.
6 Ὃς δ᾽ ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων τῶν πιστευόντων
εἰς ἐμέ, συμφέρει αὐτῷ ἵνα κρεμασθῇ μύλος ὀνικὸς περὶ τὸν
τράχηλον αὐτοῦ καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης.
7 οὐαὶ τῷ κόσμῳ ἀπὸ τῶν σκανδάλων· ἀνάγκη γὰρ ἐλθεῖν τὰ
σκάνδαλα, πλὴν οὐαὶ τῷ ἀνθρώπῳ δι᾽ οὗ τὸ σκάνδαλον ἔρχεται.
8 Εἰ δὲ ἡ χείρ σου ἢ ὁ πούς σου σκανδαλίζει σε, ἔκκοψον αὐτὸν καὶ
βάλε ἀπὸ σοῦ· καλόν σοί ἐστιν εἰσελθεῖν εἰς τὴν ζωὴν κυλλὸν ἢ
χωλόν, ἢ δύο χεῖρας ἢ δύο πόδας ἔχοντα βληθῆναι εἰς τὸ πῦρ τὸ
αἰώνιον.
9 καὶ εἰ ὁ ὀφθαλμός σου σκανδαλίζει σε, ἔξελε αὐτὸν καὶ βάλε
ἀπὸ σοῦ· καλόν σοί ἐστιν μονόφθαλμον εἰς τὴν ζωὴν εἰσελθεῖν, ἢ
δύο ὀφθαλμοὺς ἔχοντα βληθῆναι εἰς τὴν γέενναν τοῦ πυρός.
10 Ὁρᾶτε μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων· λέγω γὰρ
ὑμῖν ὅτι οἱ ἄγγελοι αὐτῶν ἐν οὐρανοῖς διὰ παντὸς βλέπουσι τὸ
πρόσωπον τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς.

Evangelium secundum Matthauum

18:1 In illa hora accesserunt discipuli ad Iesum, dicentes quis putas
maior est in regno caelorum.
18:2 et advocans Iesus parvulum statuit eum in medio eorum
18:3 et dixit, amen dico vobis nisi conversi fueritis et efficiamini sicut
parvuli non intrabitis in regnum caelorum.
18:4 quicumque ergo humiliaverit se sicut parvulus iste hic est maior
in regno caelorum
18:5 et qui susceperit unum parvulum talem in nomine meo me
suscipit.
18:6 qui autem scandalizaverit unum de pusillis istis qui in me
credunt expedit ei ut suspendatur mola asinaria in collo eius et
demergatur in profundum maris.
18:7 vae mundo ab scandalis. necesse est enim ut veniant scandala.
verumtamen vae homini per quem scandalum venit.
18:8 si autem manus tua vel pes tuus scandalizat te, abscide eum et
proice abs te. bonum tibi est ad vitam ingredi debilem vel clodum
quam duas manus vel duos pedes habentem mitti in ignem
aeternum.
18:9 et si oculus tuus scandalizat te erue eum et proice abs te. bonum
tibi est unoculum in vitam intrare quam duos oculos habentem mitti
in gehennam ignis.
18:10 videte ne contemnatis unum ex his pusillis. dico enim vobis
quia angeli eorum in caelis semper vident faciem Patris mei qui in
caelis est.